**Ὁ Χορός ψάλλει τά Τροπάρια διά τό τρισάγιον ὡς ἑξῆς:**

**Ἦχος δ΄.**

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τάς ψυχάς τῶν δούλων σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτάς εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τάς ψυχάς τῶν δούλων σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

**Δόξα.**

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τάς ψυχάς τῶν δούλων σου, Σῶτερ, ἀνάπαυσον.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τάς ψυχάς τῶν δούλων σου.

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ ἀναπαύσεως τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ εἰς τό ἐν τῇ περιοχῇ τῶν Τεμπῶν πρόσφατον σιδηροδρομικόν δυστύχημα μαρτυρικῶς τελειωθέντων καί ὑπέρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιον τε καί ἀκούσιον.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τάς ψυχάς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον.

**Ὁ Ἱερεύς·**

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον τάς ψυχάς τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ τῶν αἰφνιδίως εἰς τό ἐν τῇ περιοχῇ τῶν

Τεμπῶν πρόσφατον σιδηροδρομικόν δυστύχημα μαρτυρικῶς τελειωθέντων, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου τῶν εἰς τό ἐν τῇ περιοχῇ τῶν Τεμπῶν πρόσφατον σιδηροδρομικόν δυστύχημα μαρτυρικῶς τελειωθέντων, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αἰωνία ὑμῶν ἡ μνήμη, ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφοί ἡμῶν **(ἐκ γ΄)**.

**Ἀκολούθως, ψάλλομεν τό·** Αἰωνία ἡ μνήμη **(γ΄)**.

**Ἀκολούθως, Δέησις ὑπέρ ὑγείας τῶν τραυματισθέντων καί τῶν δοκιμαζομένων ἀδελφῶν ἡμῶν εἰς τό ἐν τῇ περιοχῇ τῶν Τεμπῶν πρόσφατον σιδηροδρομικόν δυστύχημα.**

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ἄνωθεν βοηθείας καί ἐνισχύσεως τῶν δούλων τοῦ Θεοῦ, τῶν τραυματισθέντων καί τῶν δοκιμαζομένων ἀδελφῶν ἡμῶν ἐκ τοῦ ἐν τῇ περιοχῇ τῶν Τεμπῶν προσφάτου σιδηροδρομικοῦ δυστυχήματος, ὑγείας καί σωτηρίας ὑπέρ αὐτῶν εἴπωμεν.

**Ὁ Χορός (χῦμα)·** Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Ὁ Ἱερεύς·** Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

**Ὁ Χορός·** Ἀμήν.

**Καί γίνεται Ἀπόλυσις.**